ὁμοίως δὲ δῆλον ὅτι ἔχει καὶ περὶ τὰς στιγμὰς καὶ γραμμὰς, καὶ περὶ τὰ ἐπίπεδα. ὁ γὰρ αὐτὸς λόγος. ἅπαντα γὰρ ὁμοίως, ἢ πέρατα, ἢ διαιρέσεις εἰσίν.

Κεφάλαιον ϛ.

Ὅλως δ' ἀπορήσειεν ἄν τις, διὰ τί καὶ δεῖ ζητεῖν ἄλλ' ἄττα παρά τε τὰ αἰσθητὰ καὶ τὰ μεταξύ, οἷον ἃ τίθεμεν εἴδη. εἰ γὰρ [διὰ τοῦτο, ὅτι] τὰ μὲν μαθηματικὰ τῶν δεῦρο, ἄλλῳ μέν τινι διαφέρει, τῷ δὲ πόλλ' ἄττα ὁμοειδῆ εἶναι, οὐθὲν διαφέρει. ὥστ' οὐκ ἔσονται αὐτῶν αἱ ἀρχαὶ ἀριθμῷ ἀφωρισμέναι, ὥσπερ οὐδὲ τῶν ἐνταῦθα γραμμάτων, ἀριθμῷ μὲν πάντων οὐκ εἰσὶν αἱ ἀρχαὶ ὡρισμέναι, εἴδει δέ· ἐὰν μὴ λαμβάνῃ τις τησδὶ τῆς συλλαβῆς, ἢ τησδὶ τῆς φωνῆς. τούτων δ' ἔσονται καὶ ἀριθμῷ ὡρισμέναι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν μεταξύ. ἄπειρα γὰρ κἀκεῖ τὰ ὁμοειδῆ. ὥστ' εἰ μὴ ἔστι παρὰ τὰ αἰσθητὰ καὶ τὰ μαθηματικὰ, ἕτερα ἄττα οἷα λέγουσι τὰ εἴδη τινὲς, οὐκ ἔσται μία ἀριθμῷ καὶ εἴδει οὐσία· οὐδ' αἱ ἀρχαὶ τῶν ὄντων ἀριθμῷ ἔσονται ποσαί τινες, ἀλλὰ εἴδει. εἰ οὖν τοῦτο ἀναγκαῖον, καὶ τὰ εἴδη ἀναγκαῖον διὰ τοῦτο εἶναι. καὶ γὰρ εἰ μὴ καλῶς διαρθροῦσιν οἱ λέγοντες, ἀλλ' ἔστι τοῦθ' ὃ βούλονται, καὶ ἀνάγκη ταῦτα λέγειν αὐτοῖς, ὅτι τῶν εἰδῶν οὐσία τις ἕκαστόν ἐστι, καὶ οὐθὲν κατὰ συμβεβηκός. ἀλλὰ μὴν εἴγε θήσομεν τὰ εἴδη εἶναι, καὶ ἓν ἀριθμῷ τὰς ἀρχὰς, ἀλλὰ μὴ εἴδει, εἰρήκαμεν ἃ συμβαίνειν ἀναγκαῖον ἀδύνατα. σύνεγγυς δὲ τούτοις ἐστὶ τὸ διαπορῆσαι, πότερον δυνάμει ἐστὶ τὰ στοιχεῖα, ἢ τιν' ἕτερον τρόπον. εἰ μὲν γὰρ ἄλλως, πῶς, πρότερόν τι ἔσται τῶν ἀρχῶν ἄλλο. πρότερον γὰρ ἡ δύναμις ἐκείνης τῆς αἰτίας· τὸ δὲ δυνατὸν οὐκ ἀναγκαῖον ἐκείνως πᾶν ἔχειν. εἰ δ' ἔστι δυνάμει τὰ στοιχεῖα, ἐνδέχεται μηδὲν εἶναι τῶν ὄντων. δυνατὸν γὰρ εἶναι καὶ τὸ μήπω ὄν. γίγνεται μὲν γὰρ τὸ μὴ ὂν, οὐθὲν δὲ γίγνεται τῶν εἶναι ἀδυνάτων. ταύτας τε οὖν τὰς ἀπορίας ἀναγκαῖον ἀπορῆσαι περὶ τῶν ἀρχῶν, καὶ πότερον καθόλου εἰσὶν, ἢ ὡς λέγομεν τὰ καθέκαστα. εἰ μὲν γὰρ καθόλου, οὐκ ἔσονται οὐσίαι. οὐθὲν γὰρ τῶν κοινῶν τόδε τι σημαίνει, ἀλλὰ τοιόνδε· ἡ δ' οὐσία τόδε τι. εἰ δ' ἔστι τόδε τι, καὶ ἐκθέσθαι τὸ κοινῇ κατηγορούμενον, πολλὰ ἔσται ζῷα ὁ Σωκράτης αὐτός τε, καὶ ὁ ἄνθρωπος, καὶ τὸ ζῷον, εἴπερ σημαίνει ἕκαστον τόδε τι καὶ ἕν. εἰ μὲν οὖν καθόλου αἱ ἀρχαὶ, ταῦτα συμβαίνει·

A Patet autem quod etiam circa puncta, lineas, & superficies, similiter se habet: eadem enim ratio est. Cuncta nanque similiter aut fines, aut diuisiones sunt.

CAPVT VI.

Omnino autem aliquis dubitabit, quare oportet alia quædam præter sensibili, & media quærere, vtputa eas, quas ponimus, species. Si enim propterea quòd mathematica quidem ab iis, quæ hîc sunt, alio quodam differunt, in eo sanè, B quod plura eiusdem speciei sunt, nihil differunt: & ideo non erunt eorum principia, numero determinata, sicuti etiam hîc literarum numero quidem non sunt, omnium principia determinata, sed specie: nisi quis, huius syllabæ, & huius vocis accipiat. Harum enim, numero etiam determinata erunt. Similiter etiam de mediis. Infinita etenim etiam illic sunt, C quæ eiusdem speciei sunt. Quare si præter sensibilia, & mathematica, non sint alia quædam, qualia dicunt quidam species esse, non erit vna numero, & specie substantia: nec entium principia aliqua numero aliquot, sed specie erunt. Si itaque hoc necessarium est, & species propterea necesse est esse. Etenim quanquam non bene declarent, qui hæc dicunt, hoc tamen est, quod volunt: & necesse est eis D hoc dicere, quod specierum vnaquæque substantia quædam sit, & nulla secundum accidens. At verò si ponemus species esse, & principia vnum numero non specie esse, diximus quæ impossibilia necesse est accidere. His autem propè est dubitare, vtrum potentia, an alio quodam modo elementa sint. Si enim alio quodam modo, erit aliquid aliud principiis prius: potentia nanque, prior illa causa est. Non est autem necesse, vt omne, quod poten- E tia est, illo modo se habeat. Quod si elementa potentia sunt, contingit nihil entium esse. Possibile enim est esse, etiam quod nondum est. Fit enim quod non est: sed nihil eorum fit, quæ esse impossibilia sunt. Ex his itaque de principiis dubitationibus, necesse est dubitare. Et vtrum vniuersalia sint, an (vt dicimus) singularia. Si enim vniuersalia, non erunt substantiæ. Nihil enim communium, quod quid, F sed quale quid significat: sed substantia, quod quid. Quod si quod communiter prædicatur, quod quid sit, & exponi possit, multa animalia erunt ipse Socrates, & homo, & animal: si singula quidem, quod quid & vnum significant. Si igitur principia vniuersalia sunt, hæc accidunt.